BISETUS. Τίνι δαιμόνων.] τίνι δαιμόνων ἐστὶν ὁ κῶμος ἄγεται; εἰς τίνος τῶν δαιμόνων τιμὴν ἐστὶν ὁ κῶμος νῦν ἄγεται; κῶμος δὲ κατὰ τὸν Σουίδαν, ἡ μέθη, καὶ ὁ ὀρχηθμός. κατὰ δὲ τὸν Ἡσύχιον, κῶμος δηλοῖ τὰ ἀσελγῆ, καὶ πορνικὰ ᾄσματα, τὰς συμποσιακὰς ᾠδάς. ἔστι καὶ εἶδος ὀρχήσεως. Εὐστάθιος δὲ κῶμον εἶναι λέγει τὸν ἐν συμποσίῳ κάρον, δι' οὗ καταφέρεταί τις εἰς κῶμα, τουτέστιν ὕπνον. ὅθεν κωμάζειν, τὸ κατὰ τοὺς μεθύοντας ἐπέρχεσθαι αὐθαδέστερον. Ἄλλως. κωμάζειν κυρίως τὸ ἐπὶ τὸ κοιμᾶσθαι βαδίζειν ἐκ τοῦ κῶμος κωμάζω. κῶμος δὲ ὁ καιρὸς ὁ ἀπὸ τῶν δείπνων πρὸς ὕπνον καλῶν. γίνεται γὰρ παρὰ τὸ κῶ, τὸ κοιμῶμαι. καὶ τοῦτο τὸ ῥῆμα ἐμφαίνει τὸν ἀπὸ δείπνου, καὶ μέθης ἐπὶ τὸ κοιμηθῆναι βαδίζειν καιρόν. καὶ οἱ ἐρῶντες πρὸς τὰς ἐρωμένας συγκοιμηθησόμενοι ὅταν ἔρχονται, πρὸς ταύτας κωμάζειν λέγονται. ὡς καὶ παρὰ Θεοκρίτῳ,

A Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα.

καὶ κῶμος μεθυστικὸς αὐλὸς ἐγχρονίζων οἴνοις, καὶ κυμβάλοις, καὶ αὐλοῖς καταθέλγων τοὺς δαιτυμόνας. Εὐπίστως.] εὖ, καὶ πιστῶς. τοὐμὸν δὲ, κατὰ τὸ ἐμὸν μέρος. ὅσον ἐν ἐμοί ἐστιν. δαίμονας ἔχεις σεβίζειν. δαίμονας δύνασαι σεβίζειν, σεβάζειν. Ῥύτορα τόξων.] τόξων φύλακα. Φοῖβον γὰρ οἱ ποιηταὶ ὡς τοξότην, καὶ χρυσεότοξον, ἢ ἀργυρότοξον, καὶ διὰ τοῦτο ἑκηβόλον μυθεύουσι. τινὲς δὲ ῥύτορα, ἢ ῥυτῆρα τόξων καλοῦσι παρὰ τὸ ἐρύεσθαι, τουτέστιν ἕλκειν, καὶ τείνειν τὰ τόξα. ὅπερ ἀξιόπιστον. Γύαλα. B ] τὰ ἄκρα, τὰς ἐξοχάς. οἱ δὲ τὰ κοῖλα. Σιμουντίδι, γᾷ, τῇ γῇ, τῇ χώρᾳ τῇ Σιμουντίδι, τουτέστι τῇ Φρυγίᾳ τῇ ἀπὸ τοῦ Σιμόεντος ποταμοῦ ὀνομασθείσῃ. Σιμόεις, κατὰ συναίρεσιν Σιμοῦς, ὅθεν τὸ θηλυκὸν Σιμουντὶς, ἴδιος. τὸ δὲ ἀρσενικὸν Σιμούντιος, ὡς ἀπὸ τοῦ Ὀπόεις, Ὀποῦς, Ὀπούντιος, Ὀπουντίς.

Χο. Χαῖρε καλλίσταις ἀοιδαῖς
Φοῖβ' ἐν εὐμούσοισι τιμαῖς
Γέρας ἱερὸν προφέρων.
Αγ. Ταί τ' ἐν ὄρεσι δρυογόνοι-
σι κόραν ἀείσατ' Ἄρ-
τεμιν ἀγροτέραν.
Χο. Ἕπομαι κλῄζουσα σεμνὸν
Γόνον ὀλβίζουσα Λατοῦς
Ἄρτεμιν ἀπειρολεχῆ.
Αγ. Λατώ τε, κρούματά τ' Ἀσιά-
δος
Ποδὶ παράρυθμ' εὔρυθμα Φρυ-
γίων
Διανεύματα Χαρίτων.
Χο. Σέβομαι Λατώ τ' ἄνασσαν
Κίθαρίν τε ματέρ' ὕμνων
Ἄρσενι βοᾷ δοκίμῳ.
Τᾷ φάος ἔστυτο δαιμονίοις ὄμμασιν.
Ἡμετέρας τε διαφνιδίου ὀπός
Ὧν χάριν ἄνακτ' ἄγαλλε Φοῖβον τιμᾷ.
Χαῖρ' ὄλβιε παῖ Λατοῦς.
Ὀλολύζεις γέρον.

CH. Salue pulcherrimis cantilenis
Phœbe, in canoris honoribus
C Munus sacrum præferens.
AG. Et laudate eam, quæ in montibus nemorosis versatur virginem, canentes Dianam agrestem.
CH. Sequor celebrans venerandam,
Prolem beatam prædicans Latonæ,
Dianam expertem lecti & virginem.
AG. Latonamq́; laudate, saltationes Asiaticæ terræ
D Pede exercete discordes, concordes, & numerosas,
Nutus & rotationes Gratiarum.
CH. Colo Latonamq́; reginam,
Citharam matrem hymnorum,
Masculo clamore approbato.
Qua lux excitata est diuinis oculis
Nostram per subitam vocem,
E Quorum hymnorum regem vnusquisque Phœbum honorat.
Salue beate fili Latonæ, iubilas ô senex.

BISETUS. Χαῖρε καλλίσταις] ταῦτα οὕτω συντακτέον, χαῖρε Φοῖβε προφέρων ἱερὸν γέρας ἐν τιμαῖς εὐμούσοισι, καλλίσταις ἀοιδαῖς. ὁ δὲ νοῦς ἐστί. Χαῖρε ὦ Φοῖβε, ὃς τὰ πρωτεῖα τῶν τιμῶν, καλλίσταις, καὶ ἡδίσταις ἀοιδαῖς, ἤγουν ᾠδαῖς ἔχεις.

BOURDINUS. Γέρας προφέρων.] προτιμώ- F μενος, ἔξοχος πάντων. Ὄρεσι δρυογόνοισι] δρυσὶ συμφυτευθεῖσι. Κλῄζουσα.] φημίζουσα, καλοῦσα, ὑμνοῦσα. Ὀλβίζουσα] εὐδαιμονίζουσα καὶ μακαρίζουσα. Ἀπειρολεχῆ] ἄπειρον λέχους τουτέστι παρθένον οὐκ ἔμπειρον τῆς συνουσίας ἀνδρῶν. Κρούματα] κτυπήσεις καὶ χορεύσεις. Παράρυθμα] ἄρυθμα, μὴ ῥυθμικῶς ἔχοντα. εὔρυθμα δὲ, τὰ τῶν Φρυγίων διανεύματα. Τὰς δὲ καταστροφὰς καὶ περιβολὰς κυλίσεις τε εὐρύθμους. Κίθαριν.] ἀφροδίτην κύπριν. Ἄρσενι βοᾷ δοκίμῳ] ἀνδρείᾳ τε κραυγῇ. Δι' αἰφνιδίου] τὰ ἐξαίφνης φθέγματα. Ἄγαλλε] ἐνάλλου. Ὀλολύζεις.] G θρηνεῖς μετὰ κραυγῆς. κυρίως γὰρ τοῦτο τὸ ῥῆμα λέγεται, ἐπὶ τῶν γυναικῶν μετὰ κραυγῆς εὐχομένων, καὶ πενθουσῶν, θρηνουσῶν τε.

BIS. Δρυογόνοισι] τὰς δρῦς γεννῶσι, καὶ φέρουσι. καλὸν ὄρους ἐπίθετον. ἀπὸ δὲ τῶν δρυῶν καὶ πᾶν ἄλλο δένδρων εἶδος νοεῖται. Ἀγροτέραν δὲ τὴν Ἄρτεμιν καλεῖ διὰ τὸ ἐν ἀγροῖς, καὶ ἐν ὄρεσι περὶ τὴν τῶν θηρείων ἄγραν, καὶ θήραν κατὰ τοὺς ποιητὰς σπουδάζειν. ἀλλαχοῦ δὲ συνωνύμως Ἀγραία καλεῖται. Κλῄζουσα] κλέος, ἡ δόξα. κλεΐζειν, καὶ κληΐζειν, δοξάζειν, ὑμνεῖν. Ὀλβίζουσα δὲ, μακαρίζουσα. Ἄρτεμιν ἀπειρολεχῆ] ἄπειρον λέχους. ἀπειρόγαμον. ἀτειρῆ. F διὸ καὶ Ἄρτεμις. οἱονεὶ Ἄτεμις, ἤγουν ἀτέμνης, ἄδμητος. παρθένου περίφρασις. Λατώ τε] ταῦτα οὕτω ληπτέον. ἕπομαί τε ποδὶ, εἴτε ποσὶ, κληΐζων τὴν Λητὼ, καὶ τὰ κρούματα τῆς Ἀσιάδος, ἤγουν τῆς Ἀσίας, τὰ παρὰ τὸν ῥυθμὸν, καὶ εὔρυθμα, διανεύματα Χαρίτων. διὰ δὲ τούτων ὁ ποιητὴς τὸν Ἀγάθωνα σκώπτει ὡς κάκιστον μελοποιὸν, καὶ τὰ ἐναντία ἀλλήλοις ῥαψῳδοῦντα. τὸ γὰρ παράρυθμον τῷ εὐρύθμῳ ἐναντίον. διανεύματα δὲ Φρυγίων Χαρίτων καλεῖ τὰ κρούματα, καὶ τὰς ᾠδὰς, ἅσπερ αἱ Χάριτες διανεύσασαι ἐχαρίσαντο τῷ Ἀγάθωνι. τινὲς δὲ τὸ παράρυθμα, G καὶ εὔρυθμα, ἐπιρρηματικῶς ληπτέα λέγουσιν, ἀντὶ τοῦ παραρύθμως, καὶ εὐρύθμως. Ἄλλως. Ἕπομαι κληΐζων τὴν Λητὼ, καὶ τὰ κρούματα τὰ ποδὶ παράρυθμα, καὶ εὔρυθμα, τουτέστι τὰ κρούματα τὰ ποιεῖσθαι εἰωθότα ποσὶ, τὰ μὲν, εὐρύθμως, τὰ δὲ, παρὰ τοὺς ῥυθμοὺς, ἤγουν τὰ ὀρχήματα, τὰς ὀρχήσεις τὰς ποσὶ ποιουμένας, τοτὲ μὲν, εὐρύθμως, τοτὲ δὲ, παρὰ τοὺς ῥυθμούς.